www.tezaurliturgic.ro

# 05 IUNIE

# SLUJBA SF.MUCENIC MARCU DE LA HIOS

ATENA,1930

www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ ΝΕΟΜΑΡΤΥΡΟΣ ΜΑΡΚΟΥ ΤΟΥ ΕΝ ΧΙΩ

Ψαλλομένη τῇ 5η Ἰουνίου

Ποίημα Ὁσίου Νικηφόρου τοῦ Χίου

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Λαμπρά τε καὶ εὔσημος, ἡμῖν ἐπέστη ἡ μνήμη σου, Ἀθλοφόρε πολύαθλε, ἐνθέως φαιδρύνουσα, τὰ τῶν εὐσεβούντων, πρόσωπα καὶ πάντας, ὑμνεῖν ἐγείρουσα τοὺς σοὺς, Μάρκε ἀγῶνας, τοὺς ὑπὲρ πίστεως, δι΄ ὧν Χριστὸν ἐδόξασας, καὶ τὸν διάβολον ᾔσχυνας, καὶ τυράννων κατέβαλες, τὴν ὀφρὺν καὶ τὸ φρύαγμα.

Ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος, τοῖς ἐν Χίῳ ἐπέλαμψεν, ἡμῖν, τοῖς ποθοῦσί σε, ἐν ᾗ τὸν ἀγῶνα, τὸν τοῦ μαρτυρίου, Μάρκε ἠγώνισαι στεῤῥῶς, καὶ τοῦ ἐνδόξου τέλους τετύχηκας· δι΄ ὅ σε μακαρίζομεν, καὶ ἐν ᾠδαῖς μεγαλύνομεν, Ἀθλητὴν ὡς ἀήττητον, καὶ ὡς Μάρτυρα ἔνδοξον.

Ἡ Χίος ἡγίασται, καὶ ἀληθῶς μεμακάρισται, ἀρδευθεῖσα τοῖς αἵμασι, τοῖς σοῖς Μάρκε ἔνδοξε, καὶ νῦν γηθομένη, ἄγει σου τὴν μνήμην, τῆς τελειώσεως πιστῶς, ἀνευφημοῦσα τοὺς θείους ἄθλους σου, δεσμὰ καὶ τὰ λακτίσματα, κολαφισμοὺς καὶ τὸν θάνατον, πρὸς Χριστὸν κεκτημένη σε, πρέσβυν ὄντως θερμότατον.

Μάρκε παναοίδιμε, συμπρεσβευτάς σοι παράλαβε, τοὺς ἐν Χίῳ ἀθλήσαντας, καὶ Θεὸν δοξάσαντας, πρὸ σοῦ καὶ λαβόντας, στέφος ἀφθαρσίας, Ἰσίδωρον τὸν θαυμαστὸν, σὺν τῇ Μυρόπῃ καὶ τὸν Θεόφιλον, Νικήταν καὶ Νικόλαον, καὶ Μανουὴλ τὸν ἀοίδιμον, καὶ πρεσβείαν ποιήσατε ὑπὲρ ταύτης πρὸς Κύριον.

Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδύσωμεν Μάρκον τὸν θεῖον, τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον, τὸν ἐν παῤῥησίᾳ ἀπτοήτῳ, τὴν πλάνην, τῶν ἐκ τῆς Ἄγαρ στηλιτεύσαντα, τὴν πίστιν ἡμῶν τὴν θείαν ἀνυψώσαντα, καὶ ὑπὲρ αὐτῆς σφαγιασθέντα, καὶ δὴ προσαχθέντα ὥσπερ σφάγιον λογικὸν, Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὸν θεῖον Μάρκον, τὸν Χριστοῦ ὁπλίτην στεῤῥότατον, καὶ τῆς Νήσου Χίου τὸν ἔφορον· τὸ τῶν νεοάθλων μέγα κλέος, τὸ πάντων, τῶν εὐσεβούντων ἀγαλλίαμα, καὶ

λύπην, τῶν ἀσεβούντων ἀθεράπευτον, τὸν θαυμασίοις ποικίλοις, δοξασθέντα παρὰ Θεοῦ, Ὅν ἐκήρυξε λαμπρῶς, καὶ ἄθλων ἐδόξασε, τὸν ὄντως Ὑπερένδοξον.

Ποίοις οἱ ἐπὶ γῆς στόμασιν, εὐφημήσωμεν τοὺς σοὺς ἀγῶνας, οὓς ὑμνοῦσιν ἄνωθεν Ἄγγελοι, καὶ Δικαίων πάντα τὰ τάγματα, Μάρκε νεοάθλων ἡ ἀκρότης· δεσμά τε κολαφισμοὺς καὶ τὰ λακτίσματα, τὰς ὕβρεις, καὶ ἀπειλὰς καὶ τὰ ῥαπίσματα, καὶ τὴν ἐκκοπὴν τῆς κάρας· δι᾽ ὧν ἐπαξίως, ἐμεγάλυνας τὸν Χριστὸν, καὶ τοὺς ἐχθροὺς ἄμφω ᾔσχυνας.

Δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις, δεῦτε συγκροτήσωμεν χορείαν, ἡλικία πᾶσα συνδράμωμεν, νέοι σὺν πρεσβύταις συνέλθωμεν, καὶ δοξάσωμεν ἐν θείοις ὕμνοις, τὸν Μάρκον, Νεομαρτύρων τὸ ἀγλάϊσμα, τῶν πάλαι, ἐναθλησάντων τὸν ἰσότιμον, τὸν τοῦ ἐχθροῦ καθαιρέτην· τὸν σοφὸν τῆς πλάνης, τῶν ἐξ Ἄγαρ στηλιτευτὴν, καὶ τῆς ἀκραιφνοῦς ἡμῶν, εὐσεβείας θεῖον κήρυκα.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν τῶν Μαρτύρων καλλονήν, καὶ ἱερὰν προσθήκην, τὸ Σμύρνης θεῖον βλάστημα, καὶ Χίου τὸν προστάτην, ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν πιστοί. Χαίροις αὐτῷ ἀναβοῶντες, στρατιῶτα τοῦ οὐρανίου Βασιλέως, ὁ κατ᾽ ἐνθρῶν αἰσθητῶν καὶ νοητῶν, νίκης ἀράμενος τρόπαια λαμπρά· χαίροις ὁ τὸν Χριστὸν δοξάσας θεοπρεπῶς, καὶ τὸν τῆς

κρατούσης πλάνης ὑφηγητὴν καταισχύνας, τῇ θεοσοφίᾳ τῶν λόγων σου· χαίροις ὁ στεῤῥὸς ἀθλητὴς, καὶ γενναῖος τῆς εὐσεβείας ἀγωνιστὴς, Μάρκε παναοίδιμε, ὁ τὴν ἀσύγκριτον ἀγάπην, πρὸς Χριστὸν ἐνδειξάμενος· Ὅν καθικέτευε, κοινωνὲ τῶν αὐτοῦ παθημάτων, καὶ σύμμορφε τοῦ θανάτου Αὐτοῦ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. (Ζήτει τῇ κγ΄ Ἀπριλίου, τοῦ Ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου).

Εἰς τὴν Λιτὴν, Ἰδιόμελα. Ἦχος α΄.

Ὡς μέγας, ὡς πολύς σου ὁ πόθος, Μάρκε πανθαύμαστε, τὸ σὸν αἷμα διεκχέαι ὑπὲρ Χριστοῦ· δι᾽ ὃ τοῦ πόθου τυχεῖν ἐφιέμενος, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας ηὐτομόλησας· οὓς ἀνδρικῶς διανύσας ἔνδοξε, καὶ τὴν κάραν ἐκτμηθεὶς, ἔστης νῦν

τοῦ πόθου, Χριστὸν ἀπολαβὼν τὸν σὸν ἔρωτα· ᾧ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τελούντων τὴν θείαν μνήμην σου.

Ὁ αὐτός.

Τὰ εἴδη τῶν βασάνων, ἃς ἐπόθεις ὑπενεγκεῖν, προλέγων τοῖς συνοῦσί σοι, φαιδρὸς ὅλως ἐδείκνυσο, τοῦ σοῦ προσώπου θάλλοντος γενναιότατε· δι᾽ ὃ καὶ τοῦ καιροῦ ἐπιστάντος τοῦ πάθους σου, τὰς κολάσεις ὡς τρυφὰς ἐλογίζω, καὶ χαρμοσύνως, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης, ἐμελῴδεις τῷ Χριστῷ, καὶ ὡς ἀμνὸς ἄκακος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· ὃν καθικέτευε, Μάρκε Μαρτύρων δόξα, ὡς ἔχων παῤῥησίαν πρὸς Αὐτὸν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Οὐχ ἱκανά μοι ἀοίδιμε, τὰ τῆς μετανοίας δάκρυα, τοῖς προβάλλουσιν ἀντέλεγες, εἰς τὸ ἐκπλῦναι μου τὰς τῆς ἀρνήσεως κηλῖδας, ἀλλὰ τοῖς αἵμασί μου καθαρισθήσομαι, καὶ ὅλος τῷ Χριστῷ καθαρὸς ὀφθήσομαι, καὶ Ὃν ἐνώπιον τῶν ἀνθρώπων ἠρνησάμην ἀφρόνως, ἀνομολογήσω νῦν ἐμφρόνως, ἵνα με τῶν Ἀγγέλων Αὐτοῦ ἐνώπιον ὁμολογήσῃ, καὶ τῆς Βασιλείας Αὐτοῦ, μέτοχον ἀπεργάσηται.

Ἦχος γ΄.

Διψῶ τὸ παθεῖν, καὶ τοῦ θανεῖν, ὑπὲρ Χριστοῦ λίαν ἐφίεμαι, τοῖς συλλαλοῦσί σοι, Μάρκε προέλεγες· καὶ εἰς οὐρανοὺς ἐνατενίζων, τάχυνον Κύριε, τοῦ

www.tezaurliturgic.ro

κόσμου τούτου ἐξαγεῖν με, στένων καὶ θρηνῶν ἐβόας τρισόλβιε. Νῦν οὖν τοῦ πόθου τυχὼν, δυσώπει ὑπὲρ ἡμῶν τὴν Αὐτοῦ ἀγαθότητα.

Ἦχος δ΄.

Τὴν ἐτήσιον μνήμην τελοῦντες, τῆς σῆς ἐνδόξου Ἀθλήσεως, Μάρκε παναοίδιμε, τοῦς εὐκλεεῖς σου ἀγῶνας γεραίρομεν· τὰς ἐν είρκτῇ στρεβλώσεις, τοὺς αἰκισμοὺς, τὰ λακτίσματα, τοὺς κολαφισμούς τε καὶ τὰ ῥαπίσματα, καὶ τελευταῖον τὸν ἀοίδιμον θάνατον· ἅ σοι πάντα, είς πρεσβείαν προσάγοντες, αἰτοῦμεν ῥυσθῆναι διὰ σοῦ ἐκ παντοίων θλίψεων.

Δόξα. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν γηθόμενοι, καὶ χορεύσωμεν ἀγαλλόμενοι, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐνδόξου ἀθλήσεως, Μάρκου τοῦ ἀρτιφανοῦς Ἀθλητοῦ. Οἱ Ἱερεῖς καὶ θῦται συνελθέτωσαν, καὶ τὸν τῷ Χριστῷ θυσίαν ἑαυτὸν προσαγάγοντα, ἀνυμνήτωσαν· τῶν πιστῶν ἡ πληθὺς συντρεχέτωσαν, καὶ τὸν τῆς πλάνης στηλιτευτὴν, τῆς δὲ ἀκραιφνοὺς ἡμῶν πίστεως κήρυκα εὐφημήτωσαν· οἱ ἐν νόσοις παντοδαπαῖς τὸν ἄμισθον ἰατῆρα· οἱ ἐν ποικίλοις πάθεσι, τὸν τῶν παθῶν ἀναιρέτην· τυφλοῖς γὰρ τὸ βλέπειν παρέχει, χειρῶν ἰᾶται τὴν πάρεσιν, μαστῶν γυναίοις καταστέλλει τὴν φλεγμονὴν καὶ ποδῶν ἐξοιδομουμένων καθαιροῖ τὸ οἴδημα, συνετίζει μωραίνοντας, καὶ κωφοῖς τὴν εὐηκοΐαν δωρεῖται. Πάντες οὖν δεόμενοι αὐτοῦ, μετὰ συντετριμμένης

καρδίας εἴπωμεν· Μάρκε τῶν Μαρτύρων τὸ σεπτὸν ἐγκαλλώπισμα, καὶ ἱερὰ προσθήκη, ὁ τῆς ἡμῶν πατρίδος ἔφορος, καὶ ἀκαταίσχυντος προστάτης, καὶ κραταίωμα καὶ σθένος, καὶ θεῖον ἔρεισμα.

Καὶ νῦν. Θεοτοκίον.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας Αὐτήν. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν λυχνίαν τὴν χρυσαυγῆ· τὴν φωτοφόρον νεφέλην· τὴν τῶν οὐρανῶν πλατυτέραν· τὴν ἔμψυχόν τε κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον· τὴν μανναδόχον χρυσέαν στάμνον· τὴν κεκλεισμένην τοῦ Λόγου πύλην· τὴν πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς οὐρανῶν Βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ ἐν τοῖς Μάρτυσι κλεινὸς καὶ περίδοξος, τῆς πλάνης ὁ καταλύτης,

Ἀγαρηνῶν τῆς δεινῆς, καὶ τῆς εὐσεβείας θεῖος πρόβολος, ὁ ῥῶμῃ τοῦ πνεύματος τῶν δαιμόνων τὰς φάλαγγας ἀποσοβήσας, καὶ ἀπάσας τρεψάμενος, καὶ ὅλως ἀπτόητος, ὁ τροπαιοῦχος ὁ μέγας, τῆς τοῦ Χριστοῦ παρατάξεως, πιστῶν ὁ προστάτης, καὶ κραταίωμα καὶ σθένος, καὶ θεῖον ἔρεισμα.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Δόξα τῷ ἐν ὑψίστοις Θεῷ, τῷ εὐδοκήσαντι ἐν Χίῳ ἀθλῆσαί σε, καὶ στήριγμα ἐν τῇ πίστει τοῖς εὐολίσθοις στεῤῥόν, ἀναδείξαντί σε, Μάρκε ἔνδοξε, καὶ φύλακα ἄγρυπνον, πολιοῦχον καὶ ἔφορον, θερμὸν προστάτην, καὶ ταχὺν ἀντιλήπτορα, ἐπιστήσαντι, τοῖς οἰκήτορσιν ἅπασι, ῥύστην πάντων ὀξύτατον, δεινῶν τοῖς αἰτοῦσί σου, μετ᾽ εὐλαβείας τὴν χάριν, καὶ ἐν ταῖς νόσοις τὴν ἴασιν, καὶ γὰρ πᾶσι πάντα, τὰ αἰτήματα παρέχεις τῇ μεσιτείᾳ σου.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Πάρεσο ἀοράτως ἡμῖν, τοῖς ἐν ᾠδαῖς τοὺς σοὺς ἀγῶνας δοξάζουσι, Μαρτύρων νέων ἡ δόξα, καὶ παλαιῶν ἱερὸν, Ἀθλοφόρων Μάρκε ἐγκαλλώπισμα, καὶ ἵλεως ἔπιδε, καὶ εὐσπλάγχνως ἐπίσκεψαι, τοὺς ὑμνητάς σου, καὶ ἑκάστῳ τὰ πρόσφορα, καὶ σωτήρια, σαῖς λιταῖς πρὸς τὸν Κύριον, δώρησαι εὐσυμπάθητε, καὶ κόσμον εἰρήνευσον, καὶ τὰ τιμῶντά σε πλήθη, ἐκ

λοιμικῆς νόσου φύλαττε, ἃ τῶν σῶν λειψάνων, τὴν σορὸν κυκλοῦντα πόθῳ, τελεῖ τὴν μνήμην σου.

Δόξα. Ἦχος δ΄.

Τετρωμένος ὅλος, τῇ πρὸς Χριστὸν τελειοτάτῃ ἀγάπῃ, Μάρκε πανθαύμαστε, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας ῥωμαλαίῳ φρονήματι ηὐτομόλησας, τοῦ σώματος μὴ φεισάμενος· δι᾽ ὃ καὶ τὰ σκέλη διασπώμενος, λακτιζόμενός τε, καὶ ἐν ὅλῳ τυπτόμενος τῷ σώματι ἔχαιρες καὶ εὐφροσύνης ἐπληροῦτό σοι τὸ Πνεῦμα, καὶ Χριστὸν ἐμεγάλυνες τὸν ἰσχὺν σοι δωρούμενον· ὃν τελευταῖον ἐδόξασας, τῇ ἐκτομῇ τῆς σῆς θεόφρονος κεφαλῆς, καὶ τῇ ἐκχύσει τοῦ πανιέρου σου αἵματος. Παῤῥησίαν οὖν ἔχων πρὸς Αὐτὸν, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Πᾶσαν εὔφρανας, τὴν νῆσον Χίον, Μάρτυς ἔνδοξε Μάρκε θεόφρον, ἀνακηρύξας λαμπρῶς τὴν εὐσέβειαν, καὶ κατῄσχυνας τὴν πλάνην τὴν βέβηλον, ἐν τοῖς σοῖς λόγοις καὶ ἄθλοις θεόσοφε. Ὡς οὖν ἔτυχες, οὗπερ ἐπόθεις ἀοίδιμε, μνημόνευε ἡμῶν τῶν εὐφημούντων σε.

Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Θεός σε ἐδόξασεν ἐν οὐρανῷ καὶ ἐν γῇ, Μαρτύρων ἀγλάϊσμα καὶ κλέος Μάρκε λαμπρόν· δι΄ ὃ τοῖς τελοῦσί σου, πόθῳ τὴν θείαν μνήμην, καὶ πιστῶς προσκυνοῦσι, θήκην τὴν τῶν λειψάνων, τὴν σὴν χάριν παράσχου, δεόμενος Χριστοῦ ὑπὲρ αὐτῶν, τοῦ λυτρωθῆναι κινδύνων καὶ θλίψεων.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ΄ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι΄ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Ἡ γῆ σε Ἀθλητὰ, οὐ κατέκρυψε Μάρκε, ἀλλ΄ ἡ τοῦ οὐρανοῦ ὑπεδέξατο δόξα, ἠνοίγη σοι παράδεισος, καὶ τρυφῆς ἡ ἀπόλαυσις, ἡ ἀνέκφραστος, δεδώρηταί σοι παμμάκαρ· ἧς τοὺς δούλους σου, τοὺς σὲ πιστῶς εὐφημοῦντας, τυχεῖν καθικέτευε.

Δόξα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἐναθλήσας ἀνδρικῶς Μάρκε θεῖε, καὶ τὴν εὐσέβειαν τρανώσας σοῖς λόγοις, καὶ στηλίτευσας πλάνην δυσσεβῶν Ἀγαρηνῶν, καὶ τῆς καρτερίας σου τρώσας πάντας τῷ ξίφει, καὶ τοῖς τῶν αἱμάτων σου θείοις ῥείθροις βυθίσας, καὶ ἀποπνίξας ἅμφω τοὺς ἐχθρούς, τοὺς σὲ τιμῶντας ἀεὶ διαφύλαττε.

Καὶ νῦν. Θεοτοκίον.

Χριστιανῶν ἡ ἀψευδὴς σωτηρία, ἁμαρτωλῶν ἡ ἀῤῥαγὴς προστασία, ἡ κραταιὰ βοήθεια ἡμῶν καὶ προσφυγή, σῶσόν με προσφεύγοντα, σοὶ Πανάμωμε Κόρη· σκέπασόν με πτέρυξι, τῆς ἁγίας σου σκέπης, καὶ τῆς ψυχῆς μου πρόστηθι ἐκεῖ καὶ ἐκδημούσῃ τῷ τῇδε παράστηθι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὸ θανεῖν ὑπὲρ Χριστοῦ, μᾶλλον τοῦ ζῆν ἐπιποθῶν, ηὐτομόλησας στεῤῥέ, πρὸς τοὺς ἀγῶνας ἀνδρικῶς, οὓς διανύσας γενναίως θείᾳ ἰσχύϊ, διέκοψας ἐχθρῶν, Μάρκε τὰς φάλαγγας, καὶ τρόπαια λαμπρά, ἤγειρας ἔνδοξε, καὶ στέφος τὸ τῆς νίκης ἐκομίσω, παρὰ τοῦ πάντων δεσπόζοντος· δι΄ ὅ σου πάντες, τὴν θείαν μνήμην, ᾄσμασιν εὐφημοῦμεν.

Δόξα. Ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Τοὺς πιστῶς τελοῦντάς σου τὴν θείαν μνήμην, καὶ τὰ θεῖα λείψανα, ἀσπαζομένους εὐλαβῶς, σῶσον ταῖς σαῖς πρὸς τὸν Κύριον, Μάρκε πρεσβείαις ἐκ πάσης κακώσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε θρόνε πύρινε τοῦ Βασιλέως, καὶ λυχνίᾳ πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοὶας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη Πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν ἐξ ὕψους Μάρκε λαβὼν, ἣ πυρίναις ἐν γλώσσαις τοὺς Μαθητὰς ἐστόμωσε σοφίσασα, τὴν αὐτῶν πρῴην ἄνοιαν, τὴν μὲν κρατοῦσαν πλάνην, ἐξήλεγξας ἄριστα, Ἀγαρηνῶν ἀνόμων, τὴν δέ χριστεπώνυμον, πίστιν καὶ λατρείαν, ἐτρανώσω πανσόφως, Τριάδα ὁμοούσιον, Θεὸν εἶναι τοῦ σύμπαντος, καταγγέλων θεόπνευστε, καὶ τῷ θείῳ πόθῳ Αὐτῆς, σώματος τρισμάκαρ μὴ φεισάμενος, ἀπετμήθης τὴν κάραν, τὴν ὄντως θεόφρονα.

Δόξα. Ὁ αὐτός. Τὸ προσταχθὲν μυστικῶς.

Τῷ τῆς Τριάδος θείῳ θρόνῳ παριστάμενος, μετὰ Ἀγγέλων καὶ Μαρτύρων θείοις τάγμασι καὶ Δικαίων ἁπάντων Μάρκε θείοις δήμοις, καὶ αἴγλης τῆς ἀνεσπέρου κατατρυφῶν, καὶ δόξης τῆς ἀνεκφράστου

καὶ ὑπὲρ νοῦν, κοινωνῶν πάντων μέμνησο, τῶν προσκυνούντων πιστῶς, λειψάνων σου τὴν λάρνακα καὶ ὑμνούντων τοὺς ἄθλους σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸ ἀλατόμητον πιστοὶ καὶ θεῖον ὄρος, τὸ καθαρώτατον παλάτιον τοῦ Λόγου, τὸν πυρίμορφον θρόνον τοῦ Παμβασιλέως· τὴν τράπεζαν καὶ λυχνίαν τὴν χρυσαυγῆ· τὴν γέφυραν τὴν μετάγουσαν πρὸς ζωὴν· τὴν οὐράνιον κλίμακα, τὴν Θεοτόκον Μαριὰμ, ὑμνήσωμεν κραυγάζοντες, Χαῖρε Νύμφη Ἀνύμφευτε.

Οἱ Ἀναβαθμοί· τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου.

Προκείμενον. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στίχ. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (κα´ 12-19).

Ὁ Ν´ Ψαλμός.

Δόξα. *Ταῖς τοῦ Ἀθλοφόρου,...*

Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου,...*

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Προσόμοιον. Ἦχος β´. Ἀναστὰς ὁ Ἰησοῦς.

Διανύσας ἱερῶς, τὸν θεῖον δρόμον τοῦ Μαρτυρίου, νῦν ἐν οὐρανοῖς, Ἀγγέλοις συσκηνῶν αἴτησαι ἡμῖν τὸ θεῖον ἔλεος.

Οἱ Κανόνες· πρῶτον τῆς Θεοτόκου εἰς στ΄ καὶ τοῦ Ἁγίου οἱ ἑξῆς δύω εἰς η΄.

Ὁ α΄ Κανὼν τοὺ Ἁγίου.

ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Ἀγαλλόμενοι ἐνθέως, ἐν τῇ μνήμῃ τῇ σῇ, Μάρκε Μαρτύρων κλέος, καὶ ἀκροθίνιον σεπτὸν, τοὺς ἀγῶνας ἐν ᾠδαῖς, ᾀσμάτων τοὺς σούς, ὑμνοῦμεν δοξάζοντες, τὸν Σὲ ἐνισχύσαντα.

Ἡ χαρμόσυνος ἡμέρα, Ἀθλοφόρε Χριστοῦ, Μάρκε νῦν ἐπιστᾶσα, τῆς τελειώσεως τῆς σῆς, συνεγείρει τοὺς λαοὺς ἐνθέως εἰς ἕν, ὑμνῆσαι τῶν ἄθλων σου, τὸ κλέος ἐν ᾄσμασιν.

Ἡ κοινὴ φιλοτιμία, τῆς πατρίδος ἡμῶν, Μάρκε σὺ πέλεις ὄντως, ὡς ἐναθλήσας ἐν αὐτῇ, καὶ τῶν ἄθλων ταῖς αὐγαῖς, λαμπρύνας φαιδρῶς· δι΄ ὃ ἀγαλλόμενοι, νῦν τὴν μνήμην τελοῦμέν σου.

Θεοτοκίον.

Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ ἐλπίς, σθένος τῶν Ἀθλοφόρων, καὶ ἡ ἀήττητος ἰσχύς, σὺ ὑπάρχεις ἀληθῶς, ἡ σῶμα καὶ νοῦν, Μάρκου τοῦ στεῤῥόφρονος, ταῖς εὐχαῖς σου νευρώσασα.

Ἕτερος. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ταῖς θείαις ἐλλάμψεσι, τῆς τρισηλίου Θεότητος, τὸν νοῦν μου καταύγασον, Μάρκε πανεύφημε, τοῦ ὑμνῆσαί σου, τὴν μνήμην ἐπαξίως, ἱεροῖς ἐν ᾄσμασιν, τὴν θεοδόξαστον.

Ἐμφρόνως κατέλιπες, τὴν γῆν καὶ πάντα ὡς σκύμβαλα, ἡγήσω τὰ γήϊνα, καὶ τὰ οὐράνια, ἐπεπόθησας παμμάκαρ καὶ ἠλλάξω, ῥεόντων τὰ μένοντα καὶ αἰωνίζοντα.

Θρήνοις τε καὶ δάκρυσι, προκαθαρθεὶς Μάρκε ἔνδοξε, κηλῖδας ἀπέπλυνας τὰς τῆς ἀρνήσεως, εἶτα ἔρωτα συνέλαβες ἐνθέως, τοῦ καὶ διὰ αἵματος γενέσθαι τέλειος.

Θεοτοκίον.

Νεκρώσεως σύμβολον, καὶ πρὸ θανάτου ἐνδέδυσαι, καὶ Παύλῳ συνέκραζες, Χριστοῦ τὴν νέκρωσιν, ἐν τῷ σώματι, βαστάζω Θεοτόκε, τοῦ ἐνανθρωπήσαντος ἐκ σοῦ Θεόνυμφε.

ᾨδὴ γ΄. Δεῦτε πόμα.

Δεῦτε πάντες ᾄσωμεν Χριστῷ, ἐπινίκιον ὕμνον τῷ ἐνισχύσαντι, τὸν ἑαυτοῦ Ἀθλητήν, νικῆσαι τὰς φάλαγγας ἐνθρῶν, Μάρκον τὸν θεόφρονα.

Ῥωμαλέως ὥρμησας στεῤῥέ, πρὸς ἐνθέους ἀγῶνας καὶ ηὐτομόλησας, καὶ ἐναθλήσας λαμπρῶς, λαμπρὰ τὰ βραβεῖα πρὸς Χριστοῦ τῶν ἄθλων ἀπήλαυσας.

Τῷ ὅπλῳ φραξάμενος Σταυροῦ, πρὸ βημάτων ἀθέων παρέστῃς ἔνδοξε, καὶ διατόρῳ φωνῇ, Χριστὸν μὲν ἐκήρυξας Θεὸν, τὴν δὲ πλάνην ᾔσχυνας.

Θεοτοκίον.

Εἰρκτῆς ἐντρυφῶν τοῖς ἀλγεινοῖς, ἐν κατανύξει θείᾳ σου ὦ Θεόνυμφε, τὰ μεγαλεία ὑμνῶν, ὁ φίλος σου Μάρκος ἐν ᾠδαῖς, θείαις οὐ διέλειπεν.

Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.

Τὰ εἴδη προλέγων τῶν βασάνων, ἃς Μάρκε ἐπόθεις, ἐνεγκεῖν, φαιδρὸς ὅλος ἐδείκνυσο, πυρὶ τοῦ θείου ἔρωτος, πυρούμενος μακάριε, καὶ ἔνθους ὅλος γενόμενος.

Τῷ ὅπλῳ Σταυροῦ καθοπλισμένος, εἰσῆλθες καὶ ἔστης σταθερῶς, πρὸ δικαστῶν πανθαύμαστε, τυράννων καὶ ἐκήρυξας, Ὃν ἐξηρνήσω πρότερον, Χριστὸν Θεόν τε καὶ ἄνθρωπον.

Τυράννους ἐξέπληξας κηρύξας, Θεὸν εἶναι μόνον τὸν Χριστὸν, καὶ τὴν αὐτῶν ἀσέβειαν, ἐλέγξας ἀξιάγαστε· ὅθεν εἱρκτῇ παρέδωκαν, καὶ ταῖς ἐκεῖσε κολάσεσι.

Θεοτοκίον.

Τοὺς πόδας δεινῶς ἐν ποδοκάκκῃ, τυράννων ὠμότης δυσσεβῶν, τὸν Μάρκον ἐγκατέκλεισεν· ὁ δὲ χαίρων Πανύμνητε, τοῖς ἱεροῖς του ᾄσμασι σὲ Θεομήτορ ἐδόξαζε.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Χαίρων ἔφερες, ξύλου τὴν θλίψιν, καὶ τὴν κάκωσιν Μάρκε στεῤῥόφρων, καὶ τὰς ὀδύνας τρυφὰς λογιζόμενος, τὸ ἐν καμίνῳ τῶν παίδων ἀνέμελπες, μέγιστον θαῦμα καὶ ὕμνον ἐπάξιον, ἀγαλλόμενος, Θεῷ ἀναπέμπων ἔνδοξε, ἐτέλεις ἐν εἱρκτῇ καρτερώτατε.

Δόξα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Τριττῶς ἐρωτηθεὶς, πρὸ κριτῶν παρανόμων, ἐκήρυξας τρανῶς, τῆς Τριάδος τὴν δόξαν, Πατρός, Υἱοῦ καὶ Πνεύματος, καὶ τὴν πλάνην ἐξήλεγξας, Μάρκε ἔνδοξε, καὶ αἵματί σου τῷ θείῳ, ἐπεκύρωσας τὸ ἱερώτατον σέβας, τοῦ μόνου Θεοῦ ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Λυχνία χρυσαυγὴς τοῦ ἡλίου τῆς δόξης, λαμπὰς λευκοφαὴς, τοῦ φωτὸς τοῦ ἀδύτου, νεφέλη πυρσεύουσα, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τῆς καρδίας μου ἀμβλυωπούσας τὰς κόρας, φωταγώγησον, μαρμαρυγαῖς ἀκηράτοις, καὶ θείοις πυρσεύμασιν.

ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Τῆς σῆς ἀνδρείας τὸ στεῤῥὸν, πάντας ἐξέπληξεν ἡμᾶς, ὅτε σε τυπτόμενον Μάρτυς, ἑωρῶμεν ἔνδοξε, είς βῆμά τε ἀγόμενον καὶ τρέχοντα, φαιδρῷ τῷ προσώπῳ, καὶ ῥωμαλέως είς εἱρκτὴν ἐπιστρέφοντα.

Ἐν ὀπτασίᾳ θαυμαστῇ, σοὶ προεδήλωσεν Χριστὸς, ὅτι ἐν τῇ θείᾳ τραπέζῃ, ἡ τιμία κάρα σου, τεθήσεται πανθαύμαστος, ἧς δὴ τὴν ἔκβασιν νῦν ὁρῶντες, μετ᾽ εὐλαβείας αὐτὴν κατασπαζόμεθα.

Μετὰ τῶν παίδων ἀνυμνῶν, τὸν Παντοκράτορα Θεὸν, τῶν ἐν τῇ καμίνῳ βληθέντων, ἔφερες γηθόμενος, ποδῶν τὴν θλίψιν ἔνδοξε, καὶ πάντων τῶν μελῶν τὴν ὀδύνην, καὶ τῶν σκελῶν τὴν ὑπερβάλλουσαν ἔκτασιν.

Θεοτοκίον.

Ἀλλεπαλλήλοις ἀλγεινοῖς, παλαιῶν Μάρτυς ἀνδρικῶς, ἔφερες Χριστὸν μεγαλύνων, εὐχαρίστοις ᾄσμασι, καὶ ἐκτενῶς ἐκραύγαζες· δέξαι με, Πολυέλεε Σῶτερ, τὸν ἀρνητήν Σου, λιταῖς τῆς κυησάσης Σε.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ὡς τρυφῶν ἐν Παραδείσῳ, ἐμελῴδεις γηθόμενος, Μάρκε θείους ὕμνους, τῷ Θεῷ τῶν ὅλων καὶ κτίστῃ σου, ἐν τῇ εἱρκτῇ βεβλημένος καὶ τεινόμενος, τοὺς πανσέπτους σου πόδας ἐν ξύλῳ, τρισόλβιε.

Τὰ λακτίσματα ἐν ὅλῳ, δεδεγμένος τῷ σώματι, τοῦ δεινοῦ τυράννου, εἴληφας ἰσχὺν τὴν ἀήττητον, ἐξ ὑψωμάτων ἁγίων, Μάρκε ἔνδοξε· δι᾽ ὃ ψάλλων ἐβόας, δόξα Χριστὲ τῇ δυνάμει Σου.

Τρὶς προσήχθης καὶ παρέστης, ἀνδρικῶς τοῖς δικάζουσι, καὶ γενναίῳ Μάρτυς, καὶ ἀκαταπλήκτῳ

φρονήματι, τὴν Παναγίαν Τριάδα ἀνεκήρυξας, Μάρκε πάνσοφε, καὶ τὴν ἀπάτην ἐξήλεγξας.

Θεοτοκίον.

Ὁ ἐν κόλποις τοῖς πατρῴοις, ἀχωρίστως καθήμενος, σοῦ ἐν ταῖς ἀγκάλαις Παρθένε, κάθηται ὡς νήπιος, οὗ τὸ μακάριον πάθος ἐξεικόνισεν, ὁ καλλίνικος Μάρκος, ἀθλήσας στεῤῥότατα.

ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὑμνοῦμεν τοὺς θείους ἀγῶνας, καὶ μετὰ δέους καὶ πόθου, κυκλοῦμεν τὴν τῶν λειψάνων, σεβασμίαν λάρνακα, τῶν σῶν Μάρκε ἔνδοξε, θείαν χάριν κομιζόμενοι.

Συνέλθομεν ζέοντι πόθῳ, τῶν νεοάθλων, ὕμνοις εὐφημῆσαι τὸ μέγα κλέος, Μάρκον τὸν ἀήττητον, τῆς εὐσεβείας πρόμαχον, καὶ τῶν πιστῶν ἀντιλήπτορα.

Ἐξ οἰκείων Μάρκε αἱμάτων, τὴν πορφυρίδα τὴν σαυτοῦ ἐφοίνιξας Ἀθλοφόρε, καὶ Χριστῷ παρίστασαι, μετὰ Μαρτύρων ἔνδοξε, στέφει ἀφθάρτῳ κοσμούμενος.

Θεοτοκίον.

Πανύμνητε Θεογενῆτορ, ὑπὲρ τοῦ κόσμου δυσώπει, τὸν Κύριον καὶ Θεόν σου, καὶ εἰρήνην αἴτησαι, καὶ τῶν δεινῶν τὴν λύτρωσιν, τοῖς εὐλαβῶς σοι προσφεύγουσιν.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Ἐξέστησαν ἅπαντες, ὅτε ἐπὶ θάνατον, ἑώρων ἀγόμενόν σε Μάρκε, φαιδρὸς γὰρ ὅλος, πρὸς τὴν τομὴν Ἀθλητά, ὡς εὔελπις ἔδραμες στεῤῥέ, πρὸς Χριστὸν ἡγούμενος, ἐκδημίαν τὸν θάνατον.

Πορφύραν ἐξ αἵματος, οἰκείου Μάρκε ἔνδοξε, βαφεῖσαν ἐνδέδυσαι ἀξίως, καὶ τῷ Δεσπότῃ συμβουλεύεις Χριστῷ, καὶ ζῇς ἐν Αὐτῷ καὶ σὺν Αὐτῷ, κάλλους τὸ διάδημα, περικείμενος ἄφθαρτον.

Ἡγίασται ἅπασα, τοῖς ῥείθροις τῶν αἱμάτων σου, Χίος ἡ νῆσος Μάρκε θεῖε, καὶ ταῖς ἀκτῖσι τῶν σῶν ἀγώνων λαμπρά, καὶ ἄθλων φαιδρότησι φαιδρά, γέγονε καὶ ἔνδοξος, καὶ ἐν πάσαις περίβλεπτος.

Θεοτοκίον.

Ὡς κλίμαξ οὐράνιος, ἐφάνης τῷ προπάτορι, πάλαι Ἰακὼβ, δι᾽ ἧς οἱ Νόες, πρὸς θεωρίαν Θεοῦ ἀνέρχονται, καὶ πάλιν κατέρχονται εἰς γῆν, πόθῳ προσκυνοῦντές σου, τὴν ἀπόῤῥητον γέννησιν.

ᾨδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ θανάτου τὴν ἰσχὺν, ὡς Δεσπότης καθεῖλε, τὴν πρὶν κρατοῦσαν Χριστός· ὅθεν σήμερον, σοῦ θανόντος Ἀθλητὰ, ἀγαλλόμεθα Μάρκε.

Ἀνῆλθες ἐν ταῖς ἀνωτάταις τιμαῖς, καὶ παρέστηκας νυνὶ, τῷ Δεσπότῃ ἐν δόξῃ, ἀνεκλαλήτῳ Χριστῶ, τοῖς

σοῖς αἵμασι, φοινιχθείσης σου λαμπρῶς, τῆς στολῆς Ἀθλοφόρε.

Ἀγάλλου ἐν ταῖς οὐρανίαις τρυφαῖς, καὶ μνημόνευε ἡμῶν, τῶν σῶν δούλων ἐκ πόθου, ἀνευφημούντων τὴν σὴν, θείαν ἄθλησιν, Ἀθλοφόρων καλλονὴ, καὶ τῆς Χίου προστάτα.

Θεοτοκίον.

Κηρύξας ἐν δικαστηρίοις τρανῶς, σαρκωθῆναι τὸν Χριστὸν, ἀνεκφράστως ὡς οἶδεν, ἐκ Παναμώμου Μητρὸς, χαίρων ἤθλησας, καὶ θανὼν ὑπὲρ Χριστοῦ, νῦν συζῇς αἰωνίως.

Ἕτερος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ὁ πρὶν δολίως πτερνίσας σε, ἐπτέρνισται, ἐχθρὸς τῇ ἀθλήσει σου, καὶ καταπέπτωκε, καὶ ὅλως Μάρκε νενίκηται, τῷ ξίφει τετρωμένος τῆς καρτερίας σου.

Καλῶς τὸν δρόμον τετέλεκας, σὺν Παύλῳ καὶ τὴν πίστιν τετήρηκας, Μάρκε πανθαύμαστε, δι᾽ ὃ ἀπόκειται ἤδη σοι, ὁ τῆς δικαιοσύνης ἄφθαρτος στέφανος.

Πηγὴν ἰάσεων ἔγνωμεν, τὴν θήκην τῶν πανσέπτων λειψάνων σου, Μάρκε πανίερε, ἐξ ἧς πιστῶς ἀρυόμενοι, ἀπαλλαγὴν τῶν νόσων εὐφημοῦμέν σε.

Θεοτοκίον.

Λαόν σου Ἄχραντε Δέσποινα, ἀνόρθωσον πεσόντα είς βάραθρον, καταδουλώσεως ἐχθρῶν ἀπίστων καὶ οἴκτειρον· σὺ γὰρ ἐλπὶς ἀπάντων καὶ ἡ βοήθεια.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τοῖς παρεστῶσι τῇ σορῷ σου Μάρκε ἔνδοξε, καὶ προσκυνοῦσί σου πιστῶς τὰ θεῖα λείψανα, τὴν τοῦ Πνεύματος πρεσβείαις σου δίδου χάριν, τὴν σκηνώσασαν έν τούτοις καὶ ἐμμένουσαν, καὶ ἐκβλύζουσαν τὰ ρεῖθρα τῶν ἰάσεων, καὶ γὰρ ἔσχηκας παῤῥησίαν πρὸς Κύριον.

Ἕτερον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Εὐφημεῖ σε ᾄσμασιν, ἀγαλλομένῃ ἡ Χίος, καὶ λαμπρῶς γεραίρει νῦν, τοὺς θαυμαστούς σου ἀγῶνας, ἔσπευσας είς τὸ τεθνάναι, ὢ ξένον θαῦμα! ἔσπευσας τῷ σῷ Δεσπότῃ ἱερουργήσας, τὸν σὸν αἷμα ὡς ἐπόθεις, Μαρτύρων κλέος Μάρκε Χριστοῦ Ἀθλητά.

Ὁ Οἶκος.

Τὸν λαμπρὸν ἀριστέα τοῦ Χριστοῦ, καὶ ἀήττητον Ἀθλοφόρον, τὴν τῶν Μαρτύρων καλλονὴν, καὶ ἱερὰν προσθήκην, Μάρκον πάντες συμφώνως, τοῖς τῶν ἐγκωμίων ἀκηράτοις ἄνθεσι καταστέψωμεν πιστοί· ὅν ἔφυσε μὲν ὡς ρόδον τερπνὸν, ἡ έν πόλεσι περίπτυστος Σμύρνη, ἐδρέψατο δὲ καλῶς, ἡ περιφανὴς Χίος, ὡς ἐνθέως τῶν ὀσμῶν τῶν αὐτοῦ μαρτυρικῶν ἄθλων καὶ ἀνδραγαθημάτων,

εὐφροσύνης πληρωθεῖσα· δι᾽ ὃ καὶ ἀγαλλομένῃ, εὐφημεῖ τὴν μνήμην αὐτοῦ, καὶ τοὺς θαυμαστοὺς αὐτοῦ ἀγῶνας γεραίρουσα, ὁ ἁγιάσας με βοᾷ πρὸς αὐτὸν, τῇ ἐκχύσει τῶν σαυτοῦ χαριτοβρύτων αἱμάτων, μή μου ποτὲ ἐπιλάθου, Μαρτύρων κλέος, Μάρκε Χριστοῦ Ἀθλητά.

Συναξάριον.

Τῇ Ε΄ τοῦ αὐτοῦ μηνὸς, μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Μάρκου, τοῦ ἐκ Σμύρνης καταγομένου καὶ ἐν Χίῳ ἀθλήσαντος ἐν ἔτει ͵αωα΄ (1801).

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἡ χάρις τῶν θαυμάτων λαλεῖταί σου, Μάρτυς παναοίδιμε Μάρκε τὸ σεπτὸν, τῆς ἡμετέρας γενεᾶς, καὶ πατρίδος ἁπάσης ἀγλάϊσμα, ἐν ᾗ σε θαυμαστὸν ἐπαξίως, Θεὸς πᾶσιν ἀνέδειξεν.

Ἀγγέλων σε δυνάμεις ἐκρότησαν, τὸν δρόμον τελέσαντα, βλέπουσαι στεῤῥῶς, τοῦ μαρτυρίου Ἀθλητὰ, καὶ τὴν πίστιν ἐνδόξως τηρήσαντα, καὶ στέφει ἀφθαρσίας εἰς αἰῶνας, Θεός σε ἐστεφάνωσε.

Σκιρτῶσα ἐκτελεῖ σου τὴν Ἄθλησιν, ὕμνοις τε καὶ ᾄσμασι, πᾶσα ἡ πληθὺς, τῶν εὐσεβούντων ἐν χαρᾷ, καὶ Ἀγγέλων οἱ δῆμοι γηθόμενοι, κροτοῦσιν εἰς αἰῶνας τοὺς σοὺς ἄθλους, καὶ Μαρτύρων ὁ σύλλογος.

Θεοτοκίον.

Ἐτύπου σε τὸ θαῦμα Πανάμωμε, τῶν Παίδων ἡ κάμινος, ὡς γὰρ ἐν αὐτῇ οὐ κατεφλέχθησαν οἱ τρεῖς, ἡ νηδύς σου πυρὶ τῆς Θεότητος, οὐδ᾽ ὅλως κατεφλέχθη Παρθένε, δι᾽ ὅ σε μεγαλύνομεν.

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Ἀνυμνοῦμέν σε, τρισμάκαρ καὶ δοξάζομεν, ἐν θείοις ᾄσμασι, Μάρκε Χριστοῦ Ἀθλητὰ, ὡς ἀκαταγώνιστον τῆς θείας πίστεως, ὄντα πρόμαχον, καὶ πολιοῦχον ἄριστον, καὶ προστάτην ἡμῶν θεῖον.

Τῶν θαυμάτων σου, τῇ αἴγλῃ κατελάμπρυνας, Μάρκε ἀοίδιμε, τὴν νῆσον Χίον φαιδρῶς, παθῶν γὰρ τὴν ζόφωσιν ταῖς πρὸς τὸν Κύριον, ἱκεσίαις σου, ἀπήλασας καὶ ἤστραψας, φῶς νοσοῦσιν ὑγείας.

Ἱερεῖον Μάρκε ἔνδοξε προσύνεξαι, καὶ ὁλοκαύτωμα, ἔμψυχον ὄντως Θεῷ, καὶ θῦμα εὐπρόσδεκτον καὶ τελειότατον, Ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν δούλων σου, τῶν ἐν ὕμνοις σε τιμώντων.

Θεοτοκίον.

Λακτιζόμενος, εἱρκτῇ τε ἐγκλειόμενος, καὶ κακουχούμενος, Παρθενομῆτορ Ἁγνὴ, Μάρκος ὁ πανεύφημος καὶ σπαθιζόμενος, ἀνεκήρυττε, τὸν Σὸν Υἱὸν Θεάνθρωπον, καὶ σὲ ὄντως Θεοτόκον.

Ὠδὴ η´. Αὕτη ἡ κλητή.

Ἄγει σου πιστῶς εὐσεβούντων τὰ πλήθη τὴν μνήμην Ἀθλοφόρε, ἐν ἱεραῖς ὑμνῳδίαις, πρὸς Χριστὸν εὐκλεῆ σε προβάλλοντα, μεσίτην πανεύφημε, αἰτοῦντα τὴν λύσιν, εὐχαῖς σου τῶν πταισμάτων.

Ἆρον πρὸς Θεὸν τὰς ἁγίας σου χεῖρας, προσάγων ἱκεσίαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου, κινδύνων ῥυόμενος, ἔχων παῤῥησίαν ἀθλητικὴν παμμάκαρ.

Δέξαι προσυνῶς οἰκετῶν σου τὸν πόθον, Μάρκε Μαρτύρων δόξα, τῶν εὐλαβῶς συνελθόντων τὴν σορὸν, τῶν πανσέπτων λειψάνων σου, ἰδεῖν καὶ ἀσπάσασθαι, τὴν τῶν ἰαμάτων ἐκβλύζουσαν τὴν χάριν.

Θεοτοκίον.

Μόνην γυναικῶν ἀπειράνδρως τεκοῦσαν, ὁ Μάρκος πρὸ βημάτων, δικαστικῶν ὡμολόγει, ὁ λαμπρὸς ἀριστεὺς καὶ ἀήττητος, τοῦ σοῦ Παναμώμητε, Υἱοῦ τῇ ἰσχύϊ, ῥωννύμενος εὐσθενῶς.

Ἕτερος. Παῖδας εὐαγεῖς.

Φαιδρύνεται σήμερον ἐνδόξως, ἀκτῖσι τῶν σῶν ἀγώνων Μάρκε πάνσεπτε, τῶν πιστῶν ἡ σύναξις ἐν τῇ θείᾳ μνήμῃ σου, καὶ γηθομένη ᾄδει σου τὰ θεῖα τρόπαια, καὶ νίκην τὴν λαμπρὰν εὐφημεῖ σου, δι᾽ ὧν ἐδοξάσθη Χριστὸς εἰς τοὺς αἰῶνας.

Νομίμως διήνυσας τὸν δρόμον, παμμάκαρ τοῦ μαρτυρίου καὶ ἐνήθλησας· ὅθεν είσελήλυθας, είς τὰ ὑπερκόσμια, τοῦ οὐρανοῦ σκηνώματα, Μάρκε γηθόμενος, σὺν πᾶσι τῶν Ἀγίων τοῖς δήμοις, καὶ τῆς ἀνεκφράστου τρυφῆς ἐπαπολαύεις.

Ὅλος παμφαὴς Θεῷ παρέστης, τῶν ἄθλων μαρμαρυγαῖς καταλαμπόμενος, Μάρκε παναοίδιμε, σὺν Ἀγγέλων τάξεσι, καὶ τῶν Μαρτύρων τάγμασι μέλπων γηθόμενος, τὸν Κύριον ἐν ὕμνοις ἀλήκτοις, καὶ αἰωνιζούσης χαρᾶς ἐπαπολαύων.

Θεοτοκίον.

Αἴγλης τῆς σεπτῆς καὶ τρισηλίου, λαμπρότατον σκήνωμα ὑπάρχουσα, θεῖον καὶ σωτήριον, πᾶσιν ἀνατέταλκας, τὴν φωταυγίαν Ἄχραντε τοῖς πίστει κράζουσι τὸ χαῖρέ σοι, δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.

Εὐφραίνου, ἀγάλλου, μετὰ Μαρτύρων παρεστὼς, τῷ ἀστέκτῳ θρόνῳ, τῆς Τριάδος ἔνδοξε, θείας τρυφῆς, ἀκορέστως τρυφῶν, καὶ τῆς τερπνῆς, τῶν ἀπαυγασμάτων, θέας ἀεὶ ἐμπιπλωμένος.

Ὢ θέας ἀῤῥήτου, καὶ ἀνεκφράστου χαρμονῆς! ἧς μετέχειν ἐνθέως, αἰωνίως ἔνδοξε, ἐν οὐρανῷ, ἠξιώθης κλεινὲ, καὶ τερπνῆς, Μάρκε νικηφόρε, ἐν ταῖς Ἁγίων λαμπρότησιν.

Ὡς θῦμα προσήχθης, καὶ ὁλοκαύτωμα Χριστῷ, Ὅν ἐπόθησας Μάρκε, καὶ Αὐτοῦ τῷ ἔρωτι, πυρποληθεὶς, τὴν ψυχὴν ἱερῶς, τὰ ἀλγεινὰ, ἤνεγκας προθύμως τοῦ μαρτυρίου, πολύαθλε.

Θεοτοκίον.

Ἰσχύς τε καὶ κράτος, ὑπάρχεις Δέσποινα Ἁγνὴ, καὶ ἀνδρεία καὶ ῥώμη, Ἀθλητῶν ἀήττητος, τὸν ἰσχυρὸν, τετοκυῖα Θεὸν, καὶ τῶν γερῶν, τῶν ἀνεκλαλήτων, καὶ ἀϊδίων ἡ πρόξενος.

Ἕτερος. Ἅπας γηγενής.

Δεῦτε εὐλαβῶς, πάντες προσκυνήσωμεν τὰ θεῖα λείψανα, τοῦ κλεινοῦ ἐν Μάρτυσι Μάρκου τοῦ θείου τὰ χαριτόβρυτα, καὶ πίστει ἀσπασώμεθα, ἀπαρυόμενοι, θείαν χάριν, τὴν ἐκ τούτων βρύουσαν, ὡς πηγῆς ἀκενώτου φιλέορτοι.

Δέξαι Ἀθλητὰ, τὸν πόθον τὸν ἔνθεον ὡς Χριστομίμητος, τῶν ἀνευφημούντων σου, τοὺς θείους ἄθλους, καὶ προσκυνούντων σου, τὴν τῶν λειψάνων λάρνακα, τὴν χαριτόβρυτον, καὶ τὸν τύπον, σχετικῶς τιμώντων σου, καὶ παράσχου ἑκάστῳ τὰ πρόσφορα.

Τῷ ἐν ἱεροῖς, ἱερῶς δοξάσαντι ὕμνοις τὴν μνήμην σου, Μάρκε ἱερώτατε, ταῖς πανιέροις εὐχαῖς σου αἴτησαι, ἁμαρτιῶν τὴν ἄφεσιν, καὶ τὴν συγχώρησιν, καὶ τῆς θείας δόξης τὸν ἀνάξιον, ἀξιώσει τῇ σῇ καταξίωσον.

Θεοτοκίον.

Φθέγματι λαμπρῷ γλώσσῃ διαφόρῳ τε, τρανῶς ἐκήρυξεν, ὄντως Θεοτόκον σε, ἐν τῷ σταδίῳ Παρθένε Ἄχραντε, Μάρκος ὁ ἀξιάγαστος, καὶ τὴν ἀντίχριστον τῶν ἀνόμων, πλάνην ἐστηλίτευσε, καὶ τὸ στέφος τῆς νίκης ἀπείληφεν.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τῶν ἰαμάτων ἐκ Θεοῦ, εἰληφότα τὴν χάριν, εἰδότες σε καλλίνικε, Μάρκε κλέος Μαρτύρων, προστρέχοντές σοι βοῶμεν τῆς σαρκὸς ἀπέλασον, τὰ πάθη ταῖς σαῖς πρεσβείαις, πάντων τῶν εἰλικρινῶς, εὐφημούντων ἐν ᾠδαῖς, τοὺς ἱεροὺς σου ἀγῶνας.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Ἡ Χίος ἐν τῇ μνήμῃ σου, σκιρτῶσα νῦν ἀγάλλεται, καὶ τοὺς πιστοὺς συγκαλεῖται, εἰς τὴν αὐτῆς εὐφροσύνην· εἰ γὰρ καὶ Σμύρνης πέφυκας, ὦ Μάρκε γόνος πάνσεπτος, ἀλλὰ καὶ ταύτης σέμνωμα, χαρὰ καὶ δόξα ὑπάρχεις, ἐν ᾗ ἀθλήσας ἐστέφθης.

Θεοτοκίον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, καὶ Μάρτυρες θεοφρόνως, τὸν σὸν Υἱὸν Θεοτόκε, τρανῶς καθωμολόγησαν, Θεὸν τῶν ὅλων Πάναγνε· μεθ᾽ ὧν καὶ Μάρκος ἤδῃ σου, τὰ ὑπὲρ νοῦν μεγαλεῖα, ἐδόξασεν ἐναθλήσας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στρατιώτης ἀήττητος, ἀριστεὺς γενναιότατος, θείας παρατάξεως, Μάρκε ἔνδοξε, καὶ τροπαιοῦχος λαμπρότατος, τοῦ πάντων δεσπόζοντος, ἀναδέδειξαι Χριστοῦ, κατ΄ ἐχθρῶν στήσας τρόπαια, τῶν τῆς πίστεως, τῇ τοῦ Πνεύματος θείᾳ πανοπλίᾳ, Ἀθλητὰ καθωπλισμένος, καὶ τῇ ἰσχύϊ ῥωννύμενος.

Ὑπὲρ ἥλιον ἔλαμψας, ταῖς τῶν ἄθλων λαμπρότησι, Μάρκε παναοίδιμε, καὶ κατηύγασας, τῆς Ἐκκλησίας τὸ πλήρωμα, καὶ πάντων ἐθέρμανας, τὰς καρδίας τῶν πιστῶν, πρὸς ἀγάπην τοῦ κτίσαντος, ὃν ἱκέτευε, Ἀθλητῶν ἐγκαλλώπισμα καὶ κλέος, ὑπὲρ τῶν ἐπιτελούντων, τὴν παναγίαν σου ἄθλησιν.

Τῶν λειψάνων τὴν λάρνακα, νῦν κυκλοῦντες πανεύφημε, προσκυνοῦμεν ἅπαντες μετὰ πίστεως, καὶ εὐλαβῶς ἀσπαζόμεθα, τὸν τύπον τὸν ἄχραντον, τῆς ἁγίας σου μορφῆς, καὶ τὴν χάριν τοῦ Πνεύματος, κομιζόμενοι, τὴν ἐν τούτοις ἀεὶ ἀνεκφοιτήτως, διαμένουσαν ὑμνοῦμεν, τοὺς σοὺς ἀγῶνας πολύαθλε.

Ἰαμάτων χαρίσματα, τοῖς πιστοῖς ἡ πανίερος, θήκη τῶν λειψάνων σου, Μάρκε ἔνδοξε, παρέχει πᾶσι καὶ γίνεται, τὰ πάντα τοῖς χρήζουσι, καὶ προστρέχουσιν αὐτῇ, δι΄ ὃ πάντες δοξάζομεν, τὸν τοιαύτην σοι, δωρησάμενον χάριν ἐπαξίως, εἰς ἡμῶν εὐεργεσίαν, καὶ σοῦ τοὺς ἄθλους γεραίρομεν.

Δόξα. Ἦχος πλ. δ΄.

Τὴν μνήμην τῆς σῆς ἀθλήσεως, πιστῶς ἄγοντες, ἀνυμνοῦμεν Μάρκε, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν σὲ ἐνισχύσαντα παραδόξως, καὶ κατ᾽ ἐχθρῶν νικητὴν ἀναδείξαντα, καὶ θαυμάτων χάριν μεγαλύναντα· τυφλοῖς γὰρ τὸ βλέπειν ἐδόθη, τῇ ἀφῇ τοῦ πανιέρου σου αἵματος, καὶ ποδαλγοῦντι σὺν χειραλγούσῃ ἡ ἴασις· γυναίου δὲ ὁ μαστὸς ἐθεραπεύθη, καὶ ἡ μωραίνουσα ἐχέφρων ἀποκατέστη· οὐ γὰρ ἦν αἷμα ἁπλῶς τὸ ὁρώμενον, ἀλλ᾽ αἷμα σωτήριον, αἷμα ἅγιον, διὰ Χριστὸν ἐκχεόμενον· ᾧ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου.

Κοινωνικόν.

Είς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν, τῶν σοὶ προστρεχόντων, τὰ αἰτήματα συμπαθῶς, τὰ πρὸς σωτηρίαν, δίδου ταῖς σαῖς πρεσβείαις, Μάρκε Νεομαρτύρων τὸ έγκαλλώπισμα.

Χάριν τῶν ἰαμάτων παρὰ Θεοῦ, είληφὼς Παμμάκαρ, θεραπεύεις πάθη δεινὰ, δι᾽ ὃ τοῖς έν πίστει, σὲ έπικαλουμένοις, θεράπευσον τὰ πάθη, ψυχῆς καὶ σώματος,